E

Πιστεύω εἰς ἕνα θεὸν πατέρα παντοκράτορα, ποιητὴν
οὐρανοῦ καὶ γῆς ὁρατῶν τε πάντων καὶ ἀοράτων.
καὶ εἰς ἕνα κύριον ἰησοῦν χριστὸν τὸν υἱὸν τοῦ θεοῦ
τὸν μονογενῆ. τὸν ἐκ τοῦ πατρὸς γεννηθέντα
πρὸ πάντων τῶν αἰώνων. φῶς ἐκ φωτὸς θεὸν
ἀληθινὸν ἐκ θεοῦ ἀληθινοῦ γεννηθέντα οὐ ποιηθέν-
τα ὁμοούσιον τῷ πατρὶ δι᾽ οὗ τὰ πάντα ἐγένετο. τὸν
δι᾽ ἡμᾶς τοὺς ἀνθρώπους καὶ διὰ τὴν ἡμετέραν σωτηρίαν
κατελθόντα ἐκ τῶν οὐρανῶν. καὶ σαρκωθέντα
ἐκ πνεύματος ἁγίου καὶ μαρίας τῆς παρθένου καὶ
ἐνανθρωπήσαντα. σταυρωθέντα τε ὑπὲρ ἡμῶν
ἐπὶ ποντίου πιλάτου. καὶ παθόντα. καὶ ταφέντα.
καὶ ἀναστάντα τῇ τρίτῃ ἡμέρᾳ κατὰ τὰς γραφάς.
καὶ ἀνελθόντα εἰς τοὺς οὐρανοὺς καὶ καθεζόμενον
ἐκ δεξιῶν τοῦ πατρός. καὶ πάλιν ἐρχόμενον
μετὰ δόξης κρῖναι ζῶντας καὶ νεκρούς οὗ τῆς βα-
σιλείας οὐκ ἔσται τέλος. καὶ εἰς τὸ πνεῦμα τὸ ἅγιον
τὸ κύριον τὸ ζωοποιὸν τὸ ἐκ τοῦ πατρὸς υἱοῦ τε
ἐκπορευόμενον. τὸ σὺν πατρὶ καὶ υἱῷ συμπροσ-
κυνούμενον. καὶ συνδοξαζόμενον. τὸ λαλῆσαν διὰ
τῶν προφητῶν. εἰς μίαν ἁγίαν καθολικὴν καὶ ἀ-
ποστολικὴν ἐκκλησίαν. ὁμολογῶ ἓν βάπτισμα
εἰς ἄφεσιν ἁμαρτιῶν. προσδοκῶ ἀνάστασιν νεκ-
ρῶν καὶ ζωὴν τοῦ μέλλοντος αἰῶνος ἀμήν.

Χαῖρε. κεχαριτωμένη ὁ κύριος μετὰ σοῦ εὐλο-
γημένη σὺ ἐν γυναιξὶ καὶ εὐλογημένος ὁ καρπὸς
τῆς κοιλίας σου. ὅτι σωτῆρα ἔτεκες τῶν ψυχῶν
ἡμῶν. ἁγία θεοτόκε πρέσβευε ὑπὲρ ἡμῶν:

UNIVERSITÄTS-BIBLIOTHEK HEIDELBERG
BIBLIOTECA APOSTOLICA VATICANA
© Biblioteca Apostolica Vaticana
The Polonsky Foundation
https://digi.ub.uni-heidelberg.de/diglit/bav_pal_gr_195/0015